δι᾽ ἑαυτῆς εἴη φθορὰ ἐν πολλοῖς τοῖς ἀγῶσι διέφθαρκεν ἑαυ-
τήν. καὶ μάτην αὐτὴν εἶναι φαντάζονται. πῶς δ᾽ ἂν εἴη
φθορά; πάντως γὰρ ἕτερόν τι φθείρει, οὐχ ἑαυτήν. εἰ δὲ ἑαυ-
τήν, οὐδ᾽ ἂν τὴν ἀρχὴν ὑπέστη. ὀφθήσεται γὰρ ἑαυτὴν φθεί-
ρουσα μᾶλλον ἢ οὖσα. φθορὰ γὰρ ἄφθαρτος ἀδύνατον, κατά
γε τὰς κοινὰς ἐπινοίας ἐπινοηθῆναι. ἄφθαρτον δὲ πάντως τὸ
ἀγένητον καὶ ἀΐδιον, ὅθεν καὶ ἀθάνατον. ἐπάνω γὰρ τοῦ ἀφθάρτου
τὸ ἀγένητον. εἰ δὲ τὸ μὴ γενέσθαι πώποτε ὑπάρχει τῇ ὕλῃ
μεῖζον ὄν, πῶς οὐχὶ καὶ τὸ ἔλαττον αὐτῇ προσυπάρξει τὸ μὴ
φθαρῆναι; εἰ δὲ μὴ φθείρεται ὡς ἀΐδιος, οὐδ᾽ ἂν ἑαυτῆς ὑπάρ-
χει φθορά, καὶ οὐκ ἂν εἴη οὐσία φθορᾶς. ὅταν μέντοι τοιούτων
ἀκούωσι λόγων οἱ ἐκ τοῦ Μάνεντος ὡρμώμενοι ἀποροῦντες, πόθεν
οὖν φασι τὰ κακά; πόθεν δὲ λέγουσιν ἡ ἐν τοῖς πράγμασιν
ἐμφαινομένη ἀταξία; ἀλλὰ πολλάκις μὲν εἴρηται, ὅτι δι᾽ ἀ-
γνοίαν τῆς τῶν πραγμάτων διαθέσεως, καὶ τῆς θείας διοικήσεως
γνῶσιν ἐσφαλμένην καὶ βλάσφημον ἑαυτοῖς ἐπραγματεύσαντο
δι᾽ ἄγνοιαν ὧν γνῶναι ἔδοξαν. ἃ χεῖρον οὖν ἔγνωσαν, ἢ ἠ-
γνόουν. καὶ ὃ ἐζήτουν, ἀληθέστερον ἀπολέσαντες, ἢ πρὶν ζητῆ-
σαι. ὁ δὲ λόγος κατὰ καιρὸν μέν, καὶ τὴν παρ᾽ αὐτοῖς νο-
μιζομένην τῶν πραγμάτων ἀταξίαν, εὐταξίαν τὴν ἀνωτάτω
θεοῦ παρέχοντος ἀποδείξει. καὶ τὰ λεγόμενα πρὸς αὐτῶν κα-
κά, τὰ μὲν ὡς πραττόμενα μόνον, τὰ δὲ κατ᾽ οὐσίαν ἥκι-
στά γε ὄντα κακὰ δείξει. νῦν γάρ ποτε φησίν, ὅτι ἡ ὕλη
ἠτάκτει, καὶ ἐγέννα, καὶ ηὐξάνετο, καὶ διετέλει πολλὰς προ-
βαλλομένη δυνάμεις. αὐξηθεῖσα τοίνυν ἀνήγετο, οὐκ εἰδυῖα
τοῦ ἀγαθοῦ τὴν ὕπαρξιν. ὡς δὲ ἐπὶ πλέον ἀναχθεῖσα εἶδε
τὴν γῆν τε καὶ τὸ φῶς τοῦ ἀγαθοῦ. ἐπιβῆναι τοῖς μὴ ἰδί-
οις ἐπιχειρεῖ. ὁ δὲ ἀγαθὸς δύναμιν ἀποστέλλει τινὰ ἣν καὶ
ὄνομα τὸ δόξαν αὐτῷ ἐπιτίθησι, φυλάξουσαν μὲν δῆθεν τοὺς
ὅρους, τὸ δ᾽ ἀληθὲς δέλεαρ ἐσομένην εἰς ἄκουσον τῇ ὕλῃ
σωφρονισμόν. ὃ δὴ καὶ γέγονε. θεασαμένη γὰρ ἡ ὕλη
τὴν